38 σφραγῖδος Ἁγίασμα κυρίῳ· [38]καὶ ἐπέθηκαν ἐπ' αὐτὸ λῶμα ὑακίν-
θινον ὥστε ἐπικεῖσθαι ἐπὶ τὴν μίτραν ἄνωθεν, ὃν τρόπον συνέτα-
ξεν κύριος τῷ Μωυσῇ.
37 [1]Καὶ ἐποίησαν τῇ σκηνῇ δέκα αὐλαίας, [2]ὀκτὼ καὶ εἴκοσι πή-
χεων μῆκος τῆς αὐλαίας τῆς μιᾶς — τὸ αὐτὸ ἦσαν πᾶσαι —
3 καὶ τεσσάρων πηχῶν τὸ εὖρος τῆς αὐλαίας τῆς μιᾶς. [3]καὶ ἐποίη-
σαν τὸ καταπέτασμα ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενη-
4 σμένου καὶ βύσσου κεκλωσμένης, ἔργον ὑφάντου χερουβιμ, [4]καὶ
ἐπέθηκαν αὐτὸ ἐπὶ τέσσαρας στύλους ἀσήπτους κατακεχρυσωμέ-
νους ἐν χρυσίῳ, καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις
5 αὐτῶν τέσσαρες ἀργυραῖ. [5]καὶ ἐποίησαν τὸ καταπέτασμα τῆς θύ-
ρας τῆς σκηνῆς τοῦ μαρτυρίου ἐξ ὑακίνθου καὶ πορφύρας καὶ
κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης, ἔργον ὑφάντου
6 χερουβιμ, [6]καὶ τοὺς στύλους αὐτοῦ πέντε καὶ τοὺς κρίκους· καὶ
τὰς κεφαλίδας αὐτῶν καὶ τὰς ψαλίδας αὐτῶν κατεχρύσωσαν χρυ-
σίῳ, καὶ αἱ βάσεις αὐτῶν πέντε χαλκαῖ.
7 [7]Καὶ ἐποίησαν τὴν αὐλήν· τὰ πρὸς λίβα ἱστία τῆς αὐλῆς ἐκ
8 βύσσου κεκλωσμένης ἑκατὸν ἐφ' ἑκατόν, [8]καὶ οἱ στῦλοι αὐτῶν
9 εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι· [9]καὶ τὸ κλίτος τὸ πρὸς βορ-
ρᾶν ἑκατὸν ἐφ' ἑκατόν, καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις
10 αὐτῶν εἴκοσι· [10]καὶ τὸ κλίτος τὸ πρὸς θάλασσαν αὐλαῖαι πεντή-
κοντα πήχεων, στῦλοι αὐτῶν δέκα, καὶ αἱ βάσεις αὐτῶν δέκα·
11 12 [11]καὶ τὸ κλίτος τὸ πρὸς ἀνατολὰς πεντήκοντα πήχεων, [12]ἱστία
πεντεκαίδεκα πήχεων τὸ κατὰ νώτου, καὶ οἱ στῦλοι αὐτῶν τρεῖς,
13 καὶ αἱ βάσεις αὐτῶν τρεῖς, [13]καὶ ἐπὶ τοῦ νώτου τοῦ δευτέρου
ἔνθεν καὶ ἔνθεν κατὰ τὴν πύλην τῆς αὐλῆς αὐλαῖαι πεντεκαίδεκα
πήχεων, καὶ οἱ στῦλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς.
14 15 [14]πᾶσαι αἱ αὐλαῖαι τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης, [15]καὶ αἱ
βάσεις τῶν στύλων χαλκαῖ, καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυραῖ, καὶ
αἱ κεφαλίδες αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ, καὶ οἱ στῦλοι
16 περιηργυρωμένοι ἀργυρίῳ, πάντες οἱ στῦλοι τῆς αὐλῆς. — [16]καὶ
τὸ καταπέτασμα τῆς πύλης τῆς αὐλῆς ἔργον ποικιλτοῦ ἐξ ὑακίνθου

38 επεθηκεν A*(uid.) | επ αυτο M] επι το BA
37 1 cf. 𝔐 36 8 || 2 (𝔐 36 9) πασαι] -αις B || 3—6 = 𝔐 36 35—38 || 3 εποιησεν B† | υφαντον A | χερουβειν A: item in 5 || 4 εν > A || 5 της θυρας > A*† | υφαντου A] υφαντον του B†, υφαντον M: cf. 3 || 6 αυτου M] -των BA | κρικους] + αυτων A | κεφαλας A | -λιδας αυτων $1^0 \frown 2^0$ B | αι] τας A | αυτων ult.] αι B*† | χαλκας A || 7—21 = 𝔐 38 9—23 || 8 fin.] + χαλκαι A: item A$^r$ in 9 fin. || 9 εκατον $2^0$] + και το κλιτος το προς νοτον εκατον εφ εκατον B || 10 προς] κατα A$^r$ || 12 init. — πηχεων > B || 13 πεντεκαιδεκα] εκατον πεντηκοντα B | και οι > B† || 14 αυλης] σκηνης B || 15 στυλων] + αυτων B | παντες] pr. και A† || 16 καταπετασμα] κατακαλυμμα A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/204 UNIVERSITÄT LEIPZIG